ἐὰν ἀμελήσῃ, παρελκυστικῶς ἀφίησι:
ογ Μὴ θέλε ἀνύσαι διὰ τύχης ἐχθρῶν ἀνθρώπων· οἱ γὰρ ἡ-
δέως ἀκούοντες τῶν τοιούτων ῥημάτων, καρπὸν
τρυγῶσι τῶν ἰδίων προθέσεων: Μὴ πᾶσαν θλῖψιν
οδ ἐπέρχεσθαι τοῖς ἀνθρώποις δι᾽ ἁμαρτίαν νόμιζε·
ἀλλ᾽ οἱ γὰρ τινὲς εὐαρεστοῦντες καὶ πειραζόμενοι,
γέγραπται γάρ· ἀσεβεῖς καὶ ἄνομοι ἐκδιω-
χθήσονται· ὁμοίως καὶ οἱ εὐσεβῶς θέλοντες
οε ζῆν, ἐν Χριστῷ διωχθήσονται: Ἐν καιρῷ θλίψεως
βλέπε τὴν προσβολὴν τῆς ἡδονῆς· ἐπειδὴ
γὰρ παραμυθεῖται τὴν θλῖψιν, εὐπαρα-
οϛ δεκτός ἐστι: Τινὲς φρονίμους λέγουσι τοὺς
διακριτικοὺς τῶν ἀγαθῶν πραγμάτων· φρό-
νιμοι δέ εἰσιν, οἱ ἐπικρατοῦντες τῶν ἰδίων
οζ θελημάτων: Περὶ ἀναιρέσεως τῶν κακῶν, καὶ ὑ-
πανάστασις τῆς καρδίας αὐτοῦ· οἵας γὰρ ἐνθυμήσεις ἔχει
ἔχει, τοιαύτας καὶ προσθήκας ἐπιζητεῖ:
οη Ὥσπερ εἰσὶν ὄφεις σωματοῦντες ἐν νάπαις·
καὶ εἰσὶν ὑποφωλεύοντες ἐν νοΐ ἡμῶν,
οὕτως εἰσὶ τὰ πάθη λογισμικῶς κεκρυμμένα·